eul_wid: tyc-bo

*Ζώσιμος ὁ Πανοπολίτης* · Zosimus of Panopolis

# Poem of Zosimus, Act 3

*Ποίημα τοῦ Ζωσίμου (πρᾶξις γ´)*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

1 Ποίημα τοῦ αὐτοῦ Ζωσίμου, πρᾶξις γ′ Καὶ πάλιν κατενόησα τὸ θεῖον καὶ ἱερὸν φιαλοβωμόν, καὶ εἶδόν τινα ἱεροπρεπῆ λευκοποδήρη ἐνδεδυμένον ἱερουργοῦντα τὰ φοβερὰ ἐκεῖνα μυστήρια καὶ εἶπον· «Ἆρα τίς ἐστιν οὗτος;». Καὶ ἀποκριθεὶς εἶπέν μοι· «Οὗτός ἐστιν ὁ ἱερεὺς τῶν ἀδύτων· οὗτος βούλεται αἱματῶσαι τὰ σώματα καὶ ὀμματῶσαι τὰ ἀόμματα καὶ τὰ νενεκρωμένα ἀναστῆσαι». Καὶ οὕτως πάλιν πεσὼν ἐκοιμήθην ἄλλον ὀλίγον, καὶ αὐτόθι ἐν τῷ ἐπανέρχεσθαί με ἐπὶ τὴν τετάρτην κλίμακα, εἶδον κατὰ ἀνατολὰς ἐρχόμενον κατέχοντα ἐν τῇ χειρὶ αὐτοῦ μάχαιραν, καὶ ἄλλος ὀπίσω αὐτοῦ φέρων περιηγκωνισμένον τινὰ λευκοφόρον καὶ ὡραῖον τὴν ὄψιν οὗ τὸ ὄνομα [αὐτοῦ] ἐκαλεῖτο μεσουράνισμα κινναβάρεως. Καὶ ὡς πλησίον ἦλθον τῶν κολάσεων, λέγει ὁ τὴν μάχαιραν κρατῶν· «Περίτεμε αὐτοῦ τὴν κεφαλὴν καὶ τὰ κρέατα αὐτοῦ θῦσον ἀνὰ μέρος καὶ τὰς σάρκας αὐτοῦ ἀνὰ μέρος ὅπως αἱ σάρκες αὐτοῦ πρῶτον ἑψηθῶσιν ὀργανικῶς καὶ τότε τῇ κολάσει παραπορευθῶσιν». Καὶ οὕτως πάλιν ἔξυπνος γενόμενος εἶπον· «Καλῶς ἐπενό ησα καὶ οἱ περὶ ταῦτά εἰσιν τὰ ὑγρὰ τῆς μεταλλικῆς». Καὶ πάλιν ὁ βαστάζων τὴν μάχαιραν ἔφη· «Πεπληρώκατε τὴν κάτω ἑπτακλίμακα». Ὁ δὲ ἕτερος ἔφη· «Ἅμα τῷ ἐκβαλεῖν τοὺς μολύβδους δι’ ὑγρῶν πάντων ἡ τέχνη πεπλήρωται».